Ακαδημία Αθηνών / Academy of Athens

**αὐτόματος.** Αὐτόματος, automatic, Δημόκριτος 182 *τὰ δ' αἰσχρὰ ἄνευ πόνων α ὐ τ ό μ α τ α καρποῦται.*

**αὐτός.** ('Εγώ) ὁ ἴδιος/(αὐτός) ὁ ἴδιος/αὐτός, (I) myself/(he) himself/he, 'Εμπεδοκλῆς 9.5 *ἐπίφημι καὶ α ὐ τ ὀ ς* Διογένης 7 *καὶ α ὐ τ ὸ μὲν τοῦτο* Δημόκριτος 146 *α ὐ τ ὸ ν ἐξ ἑαυτοῦ* 234.4 *α ὐ τ ο ὶ προδόται τῆς ὑγιείης* 235.8 *οὐδὲν ἐν α ὐ τ ο ῖ σ ι χρηστόν ἐστιν* 248 *ὅταν α ὐ τ ο ὶ βούλωνται πάσχειν εὖ* 'Αρχύτας 3.1-2 *ἦ α ὐ τ ὸ ν ἐξευρόντα.* ‖ **ὁ αὐτὸς** (τύπ. *ὡυτός*, ἀντίθ. *ἄλλος, ἕτερος*). 'Ο ἴδιος, the same, 'Ηράκλειτος 12 *ποταμοῖσι τ ο ῖ σ ι ν α ὐ τ ο ῖ σ ι ν ἐμβαίνουσιν* 15 *ὡ υ τ ὸ ς δὲ "Αδης καὶ Διόνυσος* 30 *κόσμον τόνδε, τ ὸ ν α ὐ τ ὸ ν ἁπάντων* 31 *εἰς τ ὸ ν α ὐ τ ὸ ν λόγον* 59 *μία ἐστὶ καὶ ἡ α ὐ τ ή* 60 *ὁδὸς ἄνω κάτω μία καὶ ὡ υ τ ή* 84 b *κάματός ἐστι τ ο ῖ ς α ὐ τ ο ῖ ς μοχθεῖν τε καὶ ἄρχεσθαι* 88 *τ α ὐ τ ὸ ἔνι ζῶν καὶ τεθνηκὸς* Παρμενίδης 3 *τ ὸ γὰρ α ὐ τ ὸ νοεῖν ἐστίν τε καὶ εἶναι* 6.8 *τ α ὐ τ ὸ ν νενόμισται κοὐ τ α ὐ τ ὸ ν* 8.29 *τ α ὐ τ ὸ ν τ' ἐν τ α ὐ τ ῷ* 8.34 *τ α ὐ τ ὸ ν δ' ἐστὶ νοεῖν τε καὶ οὕνεκεν ἔστι νόημα* 8.58 *ἑωυτῷ πάντοσε τ ω ὐ τ ὸ ν . . . τ ω ὐ τ ὸ ν* 16.2 *τ ὸ γὰρ α ὐ τ ὸ ἔστιν* Ζήνων 1.4 *καὶ περὶ τοῦ προύχοντος ὁ α ὐ τ ὸ ς λόγος* 'Εμπεδοκλῆς 82 *τ α ὐ τ ὰ τρίχες καὶ φύλλα* Διογένης 2.2-6-12-13 *ἀπὸ τ ο ῦ α ὐ τ ο ῦ ἑτεροιοῦσθαι καὶ τ ὸ α ὐ τ ὸ εἶναι . . . τ ὸ α ὐ τ ὸ ἐὸν . . . ὥστε τ α ὐ τ ὸ εἶναι . . . ἐκ τ ο ῦ α ὐ τ ο ῦ ἑτεροιούμενα ἄλλοτε ἀλλοῖα γίνεται καὶ εἰς τ ὸ α ὐ τ ὸ ἀναχωρεῖ* 5.12-19-22 *ἡ ψυχὴ τ ὸ α ὐ τ ό ἐστιν . . . πρὶν τ ὸ α ὐ τ ὸ γένηται . . . πάντα τ ῷ α ὐ τ ῷ καὶ ζῇ καὶ ὁρᾷ καὶ ἀκούει . . . ἀπὸ τ ο ῦ α ὐ τ ο ῦ πάντα* Δημόκριτος 69 *ἀνθρώποις πᾶσι τ ω ὐ τ ὸ ν ἀγαθὸν καὶ ἀληθὲς* 172 *ἀπὸ τ ῶ ν α ὐ τ ῶ ν τούτων* 235.6-9 *τὸ ἐπιθυμεῖν ἀεὶ τ ῶ ν α ὐ τ ῶ ν . . . καὶ αὖθις τ ῶ ν α ὐ τ ῶ ν δεῖ* 266.4 *τ ὸ ν α ὐ τ ὸ ν ἐφ' ἑτέροισι γίγνεσθαι* A 130 (DK II 113,33) *εἰ καὶ μὴ πᾶσιν ὁ α ὐ τ ὸ ς* (sc. *χυμὸς*) *ὁμοίως φαίνεται.* ‖ Αρχύτας 1.36-40 *τ ω ὐ τ ὸ δὲ καὶ ταῖς φωναῖς συμβήσεται . . . ἰσχυροτάτῳ σαμείῳ, ὅτι τ ῶ α ὐ τ ῶ φθεγξαμένω* 1.52 *τ ὸ γὰρ α ὐ τ ὸ πνεῦμα.* ‖ **αὐτός.** 'Ο ἴδιος, the very same, 'Εμπεδοκλῆς 17.34 *ἀλλ' α ὐ τ(ὰ) ἔστι τ α ῦ τ α* 21.13 *α ὐ τ ὰ γὰρ ἔστιν τ α ῦ τ α, δι' ἀλλήλων δὲ θέοντα γίγνεται ἀλλοιωπὰ* 26.3 *α ὐ τ ὰ γὰρ ἔστιν τ α ῦ τ α.* ‖ **αὐτά ποθ' αὐτά**

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ